τονοταρίων, λογαριαστῶν, χαρτουλαρίων, βασιλικῶν νοταρίων καὶ νοταρίων· ἔτι δὲ δομεστίκων τῶν σχολῶν, δουκῶν, κατεπάνω, στρατηγῶν, καὶ τῶν ἀντιπροσωπούντων αὐτοῖς· ταξιαρχῶν, τουρμαρχῶν, χαρτουλαρίων τοῦ τε δρόμου καὶ τῶν θεμάτων, κομήτων τῆς κόρτης, δομεστίκων τῶν ἐν ἑτέροις, δρουγγαροκομήτων, πρωτοκεντάρχου προελευσίμων, καὶ λοιπῶν ταγματικῶν καὶ θεματικῶν ἀρχόντων· πρὸς τούτοις κριτῶν, ἐποπτῶν, στρατευτῶν, ὀρθωτῶν, ἀναγραφέων, πρωτονοταρίων, σινωναρίων, ὡρειαρίων, καὶ παντὸς ἑτέραν δουλείαν τοῦ κοινοῦ μεταχειριζομένου, τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήτινα τρόπον ἀθετεῖν τι ἢ ἀνατρέπειν τῶν ἐνταῦθα παρὰ τῆς βασιλείας ἡμῶν διωρισμένων, ἄχρι καὶ ψιλῆς ἐπιχειρήσεως· ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου λόγου γενομένου κατὰ τὸν μάρτιον μῆνα τῆς τρίτης καὶ δεκάτης ἰνδικτιῶνος ἐν ἔτει τῷ ἑξακισχιλιοστῷ πεντακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Μιχαὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Δούκας.

---

### Τὸ ἶσον τοῦ χρυσοβούλλου τοῦ βασιλέως κυροῦ Νικηφόρου τοῦ Βοτανιάτου,

Τοῦ καταστρωθέντος εἰς τὸ σέκρετον τῶν οἰκειακῶν, εἰς μῆνα μάϊον ἰνδικτιῶνος β',

Καὶ εἰς τὸ σέκρετον τῆς σακέλλης κατὰ τὴν θ'. μηνὸς μαΐου ἰνδικτιῶνος β',

Καὶ εἰς τὸ σέκρετον τοῦ μεγάλου σακελλαρίου κατὰ μῆνα μάϊον ἰνδικτιῶνος β',

Καὶ εἰς τὸ σέκρετον τοῦ οἰκονομίου τῆς δουκί . . . . εἰς μῆνα μάϊον ἰνδικτιῶνος β',